## Γενικαὶ Σημειώσεις.

§. υή. Ἔτι ἰςέον, ὡς οἱ Δωριεῖς τὰς εἰς οι Πληθυντικὰς προπαροξυτόνυς Εὐθείας, παροξύνυσι. οἷον, Φιλοσόφοι. ἢ ἐπὶ μετοχῶν, καλυμένοι. πωλυμένοι. Περισπῶσι δὲ τὰ τοιαῦτα, παιδῶν, παντῶν, τρωῶν.

§. υθ'. Αἰολεῖς δὲ βαρύνυσι τὰ ὀξύτονα δισύλλαβα, σόφος, κάλος, λεῦκος, ὄξυς, κόπις, θύρις. Καὶ τὰς εἰς ως ὀξυτόνυς μετοχάς. οἷον, εἰρηκὼς, νενοηκὼς, παροξυτόνως εἰς ων ποιῦσιν, εἰρήκων, νενοήκων λέγοντες. συςέλλυσι δὲ ἢ τὸ ας τῆς Πληθυντικῆς Αἰτιατικῆς τῶν Πρωτοκλίτων, ἢ Δευτεροκλίτων. οἷον, τὺς χρῦσας, τὰς μῦσας.

§. υί. Ἔτι ἰςέον, ὡς Δωριεῖς μὲν μακρὸν λαμβάνυσι τὸ α, ἀντὶ τῦ η. νῆσος, νᾶσος, σελήνη, σελάνα. Ἴωνες δὲ βραχεῖ χρῶνται αὐτῷ. οἷον, νύμφα φίλη.

§. υιά. Ἔτι οἱ Αἰολεῖς, ὅσα διὰ τῆς ει διφθόγγυ παρ' ἡμῖν λέγεται, διὰ μόνυ τῦ ε, προφέρυσι, διπλασιάζοντες τὸ ἀμετάβολον. ἱμείρων ἱμμέῤῥων, ὠτειλὰς, ὠτελλάς. εἵματα, ἕμματα, ὑμεῖς, ὕμμες. διπλασιάζυσι δὲ ἢ τὸ, σ, ἢ π, ἢ τ. τόσσον, ὅππῃ, ὅττι. Αἰολέων δὲ ἢ τὸ ἐναλλάσσειν ἔν τισι τὸ σ, εἰς δ. ὀσμὴ, ὀδμή.

§. υιβ'. Δωριέων δέ ἐςι ἢ ἡ μετάθεσις τῶν ςοιχείων. καρδια, κραδία. κράτιςοι, κάρτιςοι.

§. υιγ'. Δωριέων, δὲ ἢ τὸ ἐπαντιθέναι τὸ ι. πνοὴ, πνοιή. πόα, ποία. ῥόα, χροιά. Ἴδιαι δὲ τύτων ἢ αἱ ἀποκοπαί. Ποσειδῶ, ποσιδῶ. κρίμνον, κρῖ.

§. υιδ'. Ἰώνων δὲ ἡ προσθήκη τῦ υ. οἷον, ὄρος, ὖρος.